ὅπου δείκνυται εἶναί τι κινοῦν ἀκίνητον· καὶ ὅσον πρὸς τοῦτο τείνει, συντόμως ἀποδείκνυσθαι δύναται, δηλονότι ἄν τι κινῇ καὶ κινῆται, φανερὸν ὅτι, καθὸ κινεῖ, ἐστὶν ἐνεργείᾳ, καὶ καθὸ κινεῖται, ἐστὶν ἐν δυνάμει· καὶ οὕτω τὸ αὐτὸ καὶ κατὰ τὸ αὐτὸ εἴη ἂν ἐνεργείᾳ καὶ δυνάμει ὅπερ ἄτοπον. Τοῦτο μὲν οὖν ἀφῶμεν· διαλεχθῶμεν δὲ πρὸς τὴν θέσιν αὐτῶν, εἰ ἄρα δηλονότι ἀληθῶς ἡ ψυχὴ κινεῖται. Δύο γάρ τινα ἔλεγον οὗτοι, ὅτι δηλονότι ἡ ψυχὴ κινεῖται, καὶ ὅτι ἡ κίνησις ἐστὶν ἐκ τῆς οὐσίας τῆς ψυχῆς· ὧν ἑκάτερον Ἀριστοτέλης ἀρνεῖται λέγων· Ἴσως γάρ, καὶ τὰ λοιπά. Τοῦτο δὲ λέγει, διότι οὔπω τοῦτο ἀπέδειξεν ὅτι φησὶν οὐ μόνον ψεῦδος τὸ τὴν
f. 277 κίνησιν εἶναι ἐκ τῆς οὐσίας τῆς ψυχῆς, καθὼς λέγουσιν | ἔνιοι ὁριζόμενοι αὐτήν, ψυχὴν εἶναι λέγοντες τὸ κινοῦν ἑαυτό, ἢ τὸ δυνάμενον κινεῖν, ἀλλὰ καὶ ὅλως ἀδύνατόν ἐστι τὸ προσήκειν αὐτῇ τὸ κινεῖσθαι. Καὶ τοῦτο πρότερον εἴρηται, δηλονότι ἐν τῷ ἕκτῳ τῶν φυσικῶν, δηλονότι ὅτι οὐκ ἀνάγκη πᾶν τὸ κινοῦν κινεῖσθαι· ἐν γὰρ τῷ κινοῦντι ἑαυτὸ δύο εἰσίν, ἓν τὸ κινοῦν, καὶ ἄλλο τὸ κινούμενον, καὶ ἀδύνατόν ἐστι τὸ κινοῦν κινεῖσθαι καθαυτό. Ἐν τοῖς ζῴοις δέ, εἰ καὶ μὴ κινεῖται καθαυτὸ τὸ μέρος τὸ κινοῦν, κινεῖται μέντοι γε κατὰ συμβεβηκός· πᾶν γὰρ τὸ κινούμενον κινεῖται διχῶς, διότι ἢ κατ' ἄλλο, ἢ καθαυτό· κατ' ἄλλο μέν, ἢ κατὰ συμβεβηκός, ὅταν μὴ κινῆται αὐτὸ ἀλλὰ τῷ ἐν ᾧ ἐστιν, ὥσπερ ὁ πλωτὴρ ἐν τῇ νηῒ κινεῖται οὐ τῷ αὐτὸς κινεῖσθαι ἀλλὰ τῆς νηὸς κινουμένης· ὅθεν ἡ μὲν ναῦς κινεῖται καθαυτό, ὁ δὲ πλωτὴρ κατὰ συμβεβηκός. Καὶ ὅτι οὐ κινεῖται καθαυτὸν ὁ πλωτήρ, δῆλον, διότι ὅταν τὶς κινῆται καθαυτόν, κινεῖται κατὰ τὰ μέρη αὐτοῦ, ὥσπερ ἐν τῇ βαδίσει πρότερον ἐστὶν τῶν ποδῶν ἡ βάδισις, καὶ τοῦτο, τοῦ πλωτῆρος ὄντος ἐν τῇ νηΐ, οὐκ ἐνυπάρχει αὐτῷ. Οὕτω τοίνυν φαίνεται, ὅτι τὸ κινεῖσθαι διχῶς λέγεται· καθαυτὸ καὶ κατὰ συμβεβηκός. Ἀλλ' οὗτοι ἀποδεδώκασι τῇ ψυχῇ τὸ κινεῖσθαι καθαυτήν, καὶ διὰ τοῦτο, παραιτησάμενοι τέως τὸ πότερον ἡ ψυχὴ κινεῖται κατὰ συμβεβηκός, σκοποῦμεν περὶ τῆς ψυχῆς εἰ κινεῖται καθαυτήν, καὶ εἰ μετέχει τῆς κινήσεως, ὡς οὗτοι ἔλεγον. Καὶ ὅτι οὐ κινεῖται καθαυτήν, δείκνυσιν Ἀριστοτέλης ἓξ λόγοις, περὶ οὓς δὴ λόγους θεωρητέον ἐστίν, ὅτι εἰ καὶ οἱ λόγοι τοῦ Ἀριστοτέλους ὀλίγον δοκοῦσι δύνασθαι, ὅμως εἰσὶν ἐναργεῖς καὶ ἱκανοί, διότι εἰσὶ πρὸς τὴν θέσιν· ἄλλως γὰρ ἐπιχειρεῖν δεῖ πρὸς τὸν ἁπλῶς σκοποῦντα τὴν ἀλήθειαν, διότι ἐξ ἀληθῶν δεῖ προχωρεῖν· ἀλλ' ὁ ἐπιχειρῶν πρὸς τὴν θέσιν προχωρεῖ ἐκ τῶν δεδομένων, καὶ διὰ τοῦτο συνεχῶς ὁ Ἀριστοτέλης, ἐπιχειρῶν πρὸς τὰς θέσεις, δοκεῖ λόγους ἐπάγειν ὀλίγα δυναμένους, διότι προχωρεῖ ἐκ τῶν δεδομένων πρὸς τὸ διαφθεῖραι καὶ ἀνατρέψαι τὴν θέσιν. Τίθησι

---

6 *δηλονότι* (2º) om B 13 *ἕκτῳ* om et laissé en blanc A 34 *προχωρεῖ* corrigé de *ἐπιχειρεῖ* B 36 *δυναμένους* om et laissé en blanc A

τοίνυν ἕξ λόγους, ὧν ὁ μὲν πρῶτος ἐν τῷ· Τεσσάρων δὲ· ὁ δεύτερος ἐν τῷ· Ἔτι δὲ εἰ φύσει κινεῖται· ὁ τρίτος ἐν τῷ· Ἔτι δὲ εἰ μὲν ἄνω κινήσεται· ὁ τέταρτος ἐν τῷ· Ἔτι δὲ ἐπεὶ φαίνεται. ὁ πέμπτος ἐν τῷ· Τὴν δὲ κατὰ συμβεβηκὸς κίνησιν· ὁ ἕκτος ἐν τῷ· Ἀλλὰ μὴν καὶ εἰ κινεῖ αὐτή.

Τεσσάρων δὲ κινήσεων. Ἐνταῦθα τίθησι τὸν πρῶτον λόγον, ὄντα τοιοῦτον· εἰ κινεῖται ἡ ψυχή, ἢ καθαυτὴν κινεῖται, ἢ κατὰ συμβεβηκός· εἰ κινεῖται κατὰ συμβεβηκός, τό τε ἡ κίνησις οὐκ ἔσται ἐκ τῆς οὐσίας αὐτῆς, ὅπερ ἐστὶ κατ' αὐτῶν, ἀλλὰ κινεῖται ὡς τὸ λευκὸν καὶ τὸ τρίπηχυ, ἃ κινοῦνται κατὰ συμβεβηκός, καὶ διὰ τοῦτο οὐ ζητεῖται πρὸς τοῦτο τόπος αὐτοῖς. Εἰ δὲ κινεῖται καθαυτήν, οὐκοῦν κινεῖται εἴδει τινὶ τῆς κινήσεως· εἴδη δὲ κινήσεως εἰσὶν ἡ κατὰ τόπον, ἡ αὔξησις, ἡ μείωσις καὶ ἡ ἀλλοίωσις. Ἡ γὰρ γένεσις καὶ ἡ φθορὰ οὐκ εἰσὶ κυρίως κινήσεις ἀλλὰ μεταβολαί. Κινηθήσεται οὐκοῦν, ὅπερ εἶπον, ἡ ψυχὴ τινὶ τῶν εἰδῶν τούτων τῆς κινήσεως. Εἰ τοίνυν κινηθήσεται τινὶ τούτων, πᾶσαι δὲ αὗται αἱ κινήσεις εἰσὶν ἐν τόπῳ, ἡ ψυχὴ ἄρα ἐστὶν ἐν τόπῳ. Ἐν τούτῳ δὲ τῷ λόγῳ δύο δοκοῦσιν εἶναι ἄπορα· ἓν μέν, ὅ φησιν ὅτι πᾶσαι αἱ εἰρημέναι κινήσεις εἰσὶν ἐν τόπῳ, ὃ δὴ περὶ μὲν τῆς φθορᾶς καὶ αὐξήσεως καὶ μειώσεως ἐστὶ φανερόν, περὶ δὲ τῆς ἀλλοιώσεως χαλεπόν ἐστιν. Τοῦτο δὲ ἔνιοι μὲν οὕτως ἐνόησαν, ὅτι πᾶν, φασί, τὸ ἀλλοιούμενον ἐστὶ σῶμα, καὶ τὸ σῶμα ἐστὶν ἐν τόπῳ· διὰ τοῦτο δὴ καὶ ἡ ἀλλοίωσις ἐν τόπῳ γίνεσθαι λέγεται. Ἀλλὰ τοῦτο οὐ φυλάττει τὸ τοῦ Ἀριστοτέλους γράμμα, διότι ὁ Ἀριστοτέλης φησὶν ὅτι αἱ τοιαῦται κινήσεις εἰσὶν ἐν τόπῳ οὐ κατὰ τόπον, καὶ διὰ τοῦτο ῥητέον, ὅτι χωρὶς ἀμφιβολίας ἡ ἀλλοίωσις ἐστὶν ἐν τόπῳ· ἄλλο γάρ ἐστι κίνησις ἐν τόπῳ, καὶ ἄλλο τὸ τὴν κίνησιν εἶναι κατὰ τόπον· ἡ γὰρ ἀλλοίωσις οὐκ ἔστι κατὰ τόπον, ἀλλ' ἔστιν ἐν τόπῳ· ἐν γὰρ τῇ ἀλλοιώσει δεῖ εἶναι ἐγγύτητα τοῦ ἀλλοιοῦντος πρὸς τὸ ἀλλοιούμενον· ἄνευ γὰρ τούτου οὐδὲν ἀλλοιωθείη ἄν· ὅθεν, ἐπεὶ ἡ ἐγγύτης γίνεται διὰ κινήσεως τοπικῆς, δεῖ εἶναι ἐκεῖ κίνησιν τοπικὴν ὡς αἰτίαν. Δευτέρα δὲ ἀπορία, ὅτι κατὰ τούτους οὐκ ἦν ἄτοπον τὸ τὴν ψυχὴν εἶναι ἐν τόπῳ, ἐπεὶ ἐτίθεντο αὐτὴν κινεῖσθαι καθαυτήν, καὶ διὰ τοῦτο οὐ δοκεῖ ἐρρῶσθαι οὗτος ὁ λόγος. Πρὸς τοῦτο δυνατὸν ἀποκριθῆναι διχῶς· ἑνὶ μὲν τρόπῳ, ὅτι τοῦτο τὸ ἄτοπον ἐπάγεται διὰ τῶν ἑπομένων | λόγων· f. 277v
καὶ ἄλλῳ δέ, ὅτι διὰ τοῦτο ἐστὶν ἄτοπον, ὅτι εἰ ἡ ψυχὴ εἴη ἐν τόπῳ, ἔδει ἀποδίδοσθαι αὐτῇ τόπον ἴδιον ἐν τῷ σώματι χωριστόν, καὶ οὕτως οὐκ ἂν ἦν εἶδος ὅλου τοῦ σώματος.

Ἔτι δὲ εἰ φύσει κινεῖται. Ἐνταῦθα τίθησι τὸν δεύτερον λόγον,

---

18 τῆς avant *αὐξήσεως* add B  27-31 *ἐν γὰρ τῇ — εἶναι ἐν τόπῳ* om B
32-33 *ἕνα μὲν τρόπον* B



Ε.Υ. Δ. της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

τοιοῦτον ὄντα· εἰ ἡ ψυχὴ κινεῖται καθ' αὐτήν, κατὰ τόπον κινεῖται φυσικῶς· πᾶν δὲ τὸ κινούμενον φύσει, καὶ βίᾳ κινεῖται· ἀλλ' εἰ κινεῖται φύσει, ἠρεμεῖ καὶ φύσει· καὶ εἰ ἠρεμεῖ φύσει, ἠρεμεῖ βίᾳ· ἡ ψυχὴ ἄρα κινεῖται βίᾳ καὶ ἠρεμεῖ βίᾳ. Ἀλλὰ τοῦτο ἐστὶν ἀδύνατον, δηλονότι τὸ τὴν ψυχὴν κινεῖσθαι βίᾳ καὶ ἠρεμεῖν, διότι ἡ τῆς ψυχῆς κίνησις καὶ ἠρεμία εἰσὶν ἑκούσιοι. Ἐν τούτῳ δὲ τῷ λόγῳ δοκεῖ ἀπορία εἶναι, εἰ τὸ φύσει κινούμενον δηλονότι ἀληθῶς κινεῖται καὶ βίᾳ· ὁ γὰρ οὐρανὸς κινεῖται φύσει, οὐ μέντοι γε βίᾳ· πρὸς ὃ ῥητέον, ὅτι ἐκείνη ἡ πρότασις κατὰ μὲν τὴν ἀλήθειαν ψευδής ἐστιν, ἀλλὰ κατὰ τὴν θέσιν ἀληθής, διότι οὗτοι οὐδὲν ἐτίθουν σῶμα φύσει κινούμενον εἰ μὴ τὰ τέσσαρα στοιχεῖα, ἐν οἷς ὁρῶμεν τὰς κινήσεις καὶ τὰς ἠρεμίας βίᾳ γίνεσθαι, καὶ κατὰ τοῦτο προχωρεῖ ὁ λόγος οὗτος.

Ἔτι δὲ εἰ μὲν ἄνω. Ἐνταῦθα τίθησι τὸν τρίτον λόγον, ὄντα τοιοῦτον· ἐκεῖνοι φασίν, ὅτι ἡ ψυχὴ κινεῖται, καὶ ἐκ τούτου κινεῖ τὸ σῶμα, καὶ ταύτην τὴν κίνησιν λέγουσιν ἔχειν ἔκ τινος τῶν στοιχείων· ἢ τοίνυν τῇ κινήσει τοῦ πυρὸς ἀκολουθεῖ, ἢ τῇ τῆς γῆς, ἢ τῇ τῶν ἄλλων τῶν μεταξύ. Εἰ τοίνυν μετέχει τῆς κινήσεως τοῦ πυρός, κινηθήσεται μόνον ἄνω· εἰ τῆς γῆς, κάτω. Ἀλλὰ τοῦτο ψεῦδος ἐστί, διότι ἡ ψυχὴ κινεῖ πρὸς πᾶν μέρος, καὶ οὗτος ὁ λόγος προχωρεῖ ἐξ ὑποθέσεως.

Ἔτι δὲ ἐπεὶ φαίνεται κινοῦσα. Ἐνταῦθα τίθησι τὸν τέταρτον λόγον τοιοῦτον ὄντα· ὑμεῖς λέγετε τὴν ψυχὴν κινεῖσθαι ἐκ τοῦ τὸ σῶμα κινεῖν· εὔλογον ἄρα ἐστὶ λέγειν, ὅτι ἐκείναις ταῖς κινήσεσι τὸ σῶμα κινεῖ, αἷς αὐτὴ κινεῖται, καὶ τὸ ἀνάπαλιν ἀληθὲς ἔσται λέγειν, ὅτι ἐκείναις ταῖς κινήσεσι κινεῖται, αἷς τὸ σῶμα κινεῖ· ἀλλὰ τὸ σῶμα κινεῖται τῇ κατὰ τόπον μεταβολῇ· καὶ ἡ ψυχὴ ἄρα κινεῖται κατὰ τόπον· ἀλλ' εἰ τὸ κινεῖσθαι τὴν ψυχὴν κατὰ τόπον ἐστὶ τὸ μεταβάλλειν σῶμα, ἐνδέχεται αὐτὴν τὴν ψυχὴν ἐξιοῦσαν πάλιν εἰσιέναι· καὶ ἐπεὶ τὸ εἰσέρχεσθαι τὴν ψυχὴν εἰς τὸ σῶμα, ἐστὶ τὸ ζωοποιεῖν τὸ σῶμα, ἕπεται τὸ τὰ τεθνεῶτα τῶν ζώων κατὰ τὴν φύσιν ἀνίστασθαι, ὅπερ ἐστὶν ἀδύνατον. Κατὰ τούτου τοῦ λόγου τινὲς ἐνίστανται λέγοντες, ὅτι τὸ τὴν ψυχὴν κινεῖν ταῖς αὐταῖς κινήσεσιν αἷς κινεῖται, οὐκ ἔστιν ἀληθές, διότι ἡ ψυχὴ οὐ κινεῖται εἰ μὴ κατά τε ἔφεσιν καὶ βούλησιν· κινεῖ δὲ τὸ σῶμα ἄλλαις κινήσεσι· πρὸς ὃ ῥητέον ἐστίν, ὅτι τὸ ἐφίεσθαι καὶ θέλειν καὶ τὰ τοιαῦτα οὐκ εἰσὶ κινήσεις τῆς ψυχῆς, ἀλλ' ἐνέργειαι· κίνησις δὲ καὶ ἐνέργεια διαφέρουσιν, διότι κίνησις μὲν ἐστὶν ἐνέργεια τοῦ ἀτελοῦς, ἐνέργεια δέ ἐστι τοῦ τελείου. Ὅμως ἀληθής ἐστιν ἡ πρότασις κατὰ τὴν θέσιν, διότι ἐκεῖνοι ἔλεγον οὐκ ἄλλως τὴν ψυχὴν κινητὴν εἶναι εἰ μὴ καθὸ κινεῖ τὸ σῶμα.

Ἔτι οὐ δοκεῖ ἕπεσθαι τοῦτο τὸ ἄτοπον, τὸ ἀνίστασθαι δηλονότι τὰ

20 *τὸ σῶμα* après *κινοῦσα* add B

Ε.Υ.Δ της Φ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

σώματα τῶν ζῴων, ἂν ἡ ψυχὴ κινῆται κατὰ τόπον· καὶ πρὸς τοῦτο τοίνυν ῥητέον, ὅτι τινὲς εἶπον τὴν ψυχὴν εἶναι συναναμεμιγμένην ὅλῳ τῷ σώματι κατὰ ἀναλογίαν τινὰ καὶ μὴ χωρίζεσθαι αὐτὴν εἰ μὴ λυομένης τῆς ἀναλογίας ἐκείνης· ὅθεν ὅσον πρὸς τούτους οὐκ ἀκολουθεῖ, ἀλλ' ὅσον πρὸς τοὺς λέγοντας τὴν ψυχὴν εἶναι ἐν σώματι ὡς ἐν τόπῳ ἢ ἐν ἀγγείῳ καὶ εἰσέρχεσθαί ποτε εἰς τὸ αὐτό, ἀκολουθεῖ ἐκεῖνο τὸ ἄτοπον.

Τὴν δὲ κατὰ συμβεβηκός. Ἐνταῦθα τίθησι τὸν πέμπτον λόγον, ὄντα τοιοῦτον· φανερόν ἐστιν, ὅτι τὸ καθ' αὐτὸ ὑπάρχον ἔν τινι πράγματι οὐκ ἔστιν ἀνάγκη ἐνυπάρχειν ἐκείνῳ καὶ κατ' ἄλλο εἰ μὴ κατὰ συμβεβηκός· εἰ τοίνυν ἐνυπάρχει τῇ ψυχῇ τὸ κινεῖσθαι καθ' αὐτὴν καὶ κατὰ τὴν αὐτῆς φύσιν, ἀνάγκη τὴν ψυχὴν εἶναι κινητικὴν καθ' αὐτήν· οὐκ ἄρα δεῖται τοῦ κινεῖσθαι δι' ἄλλο καὶ ἀπ' ἄλλου. Ἀλλ' ἡμεῖς ἐρῶμεν, ὅτι κινεῖται ὑπὸ τῶν αἰσθητῶν ἐν τῷ αἰσθάνεσθαι καὶ ὑπὸ τῶν ὀρεκτῶν ἐν τῷ ὀρέγεσθαι· οὐκ ἄρα ἡ ψυχὴ καθ' αὐτὴν κινεῖται. Πρὸς τοῦτο ἀντιτιθέασιν οἱ Πλατωνικοὶ λέγοντες, ὅτι ἡ ψυχὴ οὐ κινεῖται ὑπὸ τῶν αἰσθητῶν, ἀλλὰ συναντῶσι τῇ κινήσει τῆς ψυχῆς, καθόσον ἡ ψυχὴ δίεισι δι' αὐτῶν. Ἀλλὰ τοῦτο ἐστὶ ψεῦδος, διότι, ὡς δείκνυσιν ὁ Ἀριστοτέλης, ὁ δυνάμει νοῦς ἀνάγεται δι' αὐτῶν, δηλονότι τῶν εἰδῶν τῶν αἰσθητῶν πραγμάτων, εἰς τὸν ἐνεργείᾳ, καὶ διὰ τοῦτο δεῖ κινεῖσθαι παρ' αὐτῶν τοῦτον τὸν τρόπον.

Ἀλλὰ μὴν καὶ εἰ κινεῖ. Ἐνταῦθα τὸν ἕκτον τίθησι λόγον, τοιοῦτον ὄντα· εἰ ἡ ψυχὴ κινεῖ ἑαυτήν, φανερὸν | ὅτι αὐτὴ κινηθήσεται κατὰ f. 278 τὴν ἑαυτῆς οὐσίαν· ἀλλὰ πᾶν τὸ κινούμενον διΐσταται ἢ ἐξέρχεται ἐξ ἐκείνου ἀφ' οὗ καὶ καθ' ὃ κινεῖται, ὥσπερ ἄν τι κινῆται ἀπὸ τῆς ποσότητος, ἔξεισι καὶ διΐσταται αὐτῆς τῆς ποσότητος ἀφ' ἧς κινεῖται· εἰ τοίνυν ἡ ψυχὴ κινεῖται ἀπὸ τῆς οὐσίας αὐτῆς καὶ ἀφ' ἑαυτῆς, ὡς ἐκεῖνοι λέγουσιν, διαστήσεται καὶ ἐξελεύσεται ἀπὸ τῆς οὐσίας, καὶ οὕτως ἡ κίνησις ἔσται αὐτῇ αἰτία φθορᾶς, ὅπερ ἐστὶν ἐναντίον τοῖς λέγουσιν αὐτὴν διὰ τὴν κίνησιν ἀφομοιοῦσθαι τοῖς θείοις καὶ ἀθάνατον εἶναι, ὡς ἀνωτέρω διείληπται. Καὶ οὗτος ὁ λόγος προχωρεῖ ὅσον πρὸς ἐκείνους, οἵτινες οὐ διῄρουν τῆς ἐνεργείας τὴν κίνησιν· ἡ γὰρ ἐνέργεια οὐ ποιεῖ διεστάναι, ἀλλὰ τελειοῖ τὸν ἐνεργοῦντα· ἐν δὲ τῇ κινήσει εἶναι δεῖ τινα ἔξοδον.

## Leçon VII.

Ἔνιοι δὲ καὶ κινεῖν τὴν ψυχὴν φασὶ τὸ σῶμα. Ἀνωτέρω ὁ Φιλόσοφος ἔθηκε λόγους ἐν τῷ κοινῷ κατὰ τῶν τιθέντων τὴν ψυχὴν κινεῖσθαι καθ' ἑαυτήν· ἐνταῦθα δὲ τίθησι λόγους εἰδικῶς κατὰ τινῶν, οἵτινες δυσχερές τι δοκοῦσιν εἰπεῖν περὶ τὴν ἑαυτῶν δόξαν περὶ τῆς κινή-

---

37 *τίθησι* om B

ΙΩΑΝΝΙΝΑ 2006

σεως τῆς ψυχῆς· καὶ περὶ τοῦτο τρία ποιεῖ· πρῶτον γὰρ τίθησι πρὸς τὴν δόξαν τοῦ Δημοκρίτου· Δεύτερον, πρὸς τὴν δόξαν τοῦ Πλάτωνος ἐν τῷ· Τὸν αὐτὸν δὴ τρόπον καὶ Τίμαιος· τρίτον, πρός τινα ἄλλην δόξαν ἐν τῷ· Καὶ ἄλλη δέ τις δόξα. Τὸ δὲ πρῶτον αὖθις διαιρεῖται εἰς δύο μέρη· πρῶτον γὰρ τίθησι τὴν δόξαν τοῦ Δημοκρίτου περὶ τῆς κινήσεως τῆς ψυχῆς καὶ ἐξηγεῖται αὐτήν· δεύτερον, ἀντιτίθησιν εἰς τοὐναντίον ἐν τῷ· Ἡμεῖς δὲ ἐρωτήσομεν.

Περὶ τὸ πρῶτον ἰστέον ἐστίν, ὅτι ἐν τοῖς προλαβοῦσι τίθεται ἐν ἑνὶ λόγῳ τοῦ Ἀριστοτέλους κατὰ τῶν τιθέντων τὴν ψυχὴν κινεῖσθαι καθ' αὑτὴν καὶ ἐκ τούτου κινεῖν τὸ σῶμα, ὅτι εἰ ἡ ψυχὴ κινεῖ τὸ σῶμα, ἀνάγκη ἐκείναις ταῖς κινήσεσιν αὐτὴν κινεῖν ἐκεῖνο αἷς αὐτὴ κινεῖται· καὶ τοῦτο συνεχώρουν τινές, οἱ λέγοντες τὴν ψυχὴν κινεῖν τὸ σῶμα ἐν ᾧ ἐστίν, ὡς αὐτὴ κινεῖται, τουτέστιν ἐκείναις ταῖς κινήσεσιν αἷς κινεῖται αὐτή· καὶ οὗτος γέγονεν ὁ Δημόκριτος, καὶ εἰσῆγε πρὸς τοῦτο παράδειγμα, διότι ἦν τις κωμῳδοδιδάσκαλος ὀνόματι Φίλιππος· οὗτος ἐν τοῖς ἰδίοις βιβλίοις εἰσάγει, ὅτι Δαίδαλός τις ἐποίησε ξυλίνην εἰκόνα τῇ Ἀθηνᾷ, καὶ αὕτη ἡ εἰκὼν ἐκινεῖτο διὰ τὸ εἶναι ἐν αὐτῇ ἄργυρον χυτὸν ἤγουν ζῶντα· εἴη δ' ἀνθρώπου ὁ ὑδράργυρος, καὶ ἐκινεῖτο τῇ κινήσει τοῦ ζῶντος ἀργύρου. Ὅμοια τοίνυν τούτῳ φησὶ καὶ Δημόκριτος ἐν τῇ δόξῃ αὐτοῦ τῇ περὶ ψυχῆς· λέγει γάρ, ὅτι ἡ ψυχὴ ἐστὶ σύνθετος ἐκ τῶν σφαιροειδῶν ἀτόμων, ὡς προείρηται· καὶ διότι αὗται αἱ ἄτομοι σφαῖραι κινοῦνται συνεχῶς, μηδέποτε δυνάμεναι ἠρεμεῖν, συνεφέλκουσί τε καὶ κινοῦσι τὸ σῶμα καθὼς αὗται κινοῦνται.

Ἡμεῖς δὲ ἐρωτήσομεν. Ἐνταῦθα ἀντιτίθησι κατὰ ταύτης τῆς δόξης τοῦ Δημοκρίτου δυσὶ λόγοις. Καὶ ὁ πρῶτος λόγος τοιοῦτος ἐστίν· φανερόν ἐστιν, ὅτι ἡ ψυχὴ οὐ μόνον ἐστὶν αἰτία κινήσεως ἐν τῷ ζῴῳ ἀλλὰ καὶ ἠρεμίας· ἀλλα κατὰ τὴν δόξαν τοῦ Δημοκρίτου ἡ ψυχὴ οὐκ ἔστιν αἰτία ἠρεμίας ἐν τῷ ζῴῳ, διότι χαλεπόν, ἢ ἀδύνατόν ἐστι λέγειν, ὅτι τὰ σφαιρικὰ ἐκεῖνα καὶ ἄτομα σώματα ἠρεμοῦσι, διότι οὐδέποτε μένουσιν, ὡς προείρηται.

Ὅλως δὲ οὐχ οὕτω. Ἐνταῦθα τίθησι τὸν δεύτερον λόγον τοιοῦτον ὄντα· φανερόν ἐστιν, ὅτι ἡ κίνησις, ἣν ὁ ζῶν ἄργυρος ἐν τῇ εἰκόνι ποιεῖ, οὐκ ἔστι κίνησις ἑκούσιος ἀλλ' ἀκούσιος· ἀλλ' ἡ κίνησις τῆς ψυχῆς οὐκ ἔστι βίαιος ἀλλ' ἑκούσιος, διότι κινεῖ κατὰ θέλησιν καὶ νοῦν· ἡ θέσις ἄρα τοῦ Δημοκρίτου ἐστὶν ἄτοπος.

Τὸν αὐτὸν δὲ τρόπον. Ἐνταῦθα τίθησι τὴν δόξαν τοῦ Πλάτωνος, καὶ περὶ τοῦτο δύο ποιεῖ· πρῶτον, τίθησιν αὐτήν· δεύτερον, ἀποδοκιμάζει

---

11-13 *καὶ τοῦτο — κινεῖται αὐτή* om B 16 *Δαίδαλος* om B 17-18 *εἴη — ὑδράργυρος* en marge A, om B 22 *δυνάμεναι ἠρεμεῖν* corrigé de *ἠρεμοῦσαι* B 25 *καὶ ὁ* om B 32 *ἥτις τὸν ζῶντα ἄργυρον* B

ἐν τῷ· Πρῶτον μὲν οὖν, περὶ δὲ τὸ πρῶτον δύο ποιεῖ· πρῶτον, δείκνυσι τὴν ὁμοιότητα τῆς Πλατωνικῆς δόξης πρὸς τὴν τοῦ Δημοκρίτου· δεύτερον, παραδειγματίζει τὴν δόξαν τοῦ Πλάτωνος ἐν τῷ· Συνεστηκυῖαν γάρ. Φησὶ τοίνυν πρῶτον ὅτι, ὥσπερ ὁ Δημόκριτος ἔθετο τὸ σῶμα κινεῖσθαι παρὰ ψυχῆς, καθόσον ἡ ψυχὴ συνεζευγμένη αὐτῷ κινεῖται, οὕτω καὶ ὁ Τίμαιος, ὃν εἰσάγει Πλάτων διαλεγόμενον, ἀφορίζεται τὴν φύσιν τῆς κινήσεως, ᾗ τὸ σῶμα κινεῖ ἡ ψυχή· λέγει γὰρ ὅτι ἡ ψυχὴ κινεῖ τὸ σῶμα, καθόσον αὐτὴ κινεῖται διὰ τὸ τὴν ψυχὴν συνεζευγμένην εἶναι τῷ σώματι κατὰ τρόπον συνδέσμου τινὸς καὶ συμπλοκῆς.

Συνεστηκυῖαν γάρ. Ἐνταῦθα παραδειγματίζει τὴν δόξαν τοῦ Πλάτωνος· καὶ πρῶτον φανεροῖ τὴν σύστασιν τῆς οὐσίας αὐτῆς· δεύτερον, ἐκτίθεται πῶς ἐξ αὐτῆς πρόεισιν ἡ κίνησις, ἐν τῷ· Τὴν | εὐθυωρίαν f. 278v
εἰς κύκλον. Περὶ τὸ πρῶτον ἰστέον ἐστίν, ὅτι ὁ Πλάτων ταῦτα τὰ ῥήματα ἐν τῷ Τιμαίῳ ἐπεξεργάζεται διαλεγόμενος περὶ τῆς τοῦ κόσμου ψυχῆς, ἣν μιμοῦνται, κατ' αὐτόν, αἱ ὑποκάτω ψυχαί, καὶ διὰ τοῦτο, διὰ τῶν ἐνταῦθα ἀνηκόντων τῇ φύσει τῆς τοῦ κόσμου ψυχῆς, τρόπον τινὰ τῆς φύσεως ἅπτονται πάσης ψυχῆς. Ἰστέον οὖν, ὅτι, ὡς προείρηται, ὁ Πλάτων ἔθετο οὐσίαν πάντων τῶν πραγμάτων εἶναι τὸν ἀριθμὸν διὰ τὴν ἀνωτέρω εἰρημένην αἰτίαν· στοιχεῖα δὲ τοῦ ἀριθμοῦ ἐτίθει τὸ ἓν ὡς εἰδικόν τι, καὶ τὰ δύο ὥς τι ὑλικόν· ἐκ τοῦ ἑνὸς γὰρ καὶ τῶν δύο πάντως οἱ ἀριθμοὶ συνίστανται· καὶ διότι ὁ περιττὸς ἀριθμὸς τρόπον τινὰ ἔχει τι τοῦ ἀδιαιρέτου τῆς μονάδος ἐν ἑαυτῷ, ἔθετο δύο τὰ στοιχεῖα τοῦ ἀριθμοῦ, τὸ περιττὸν καὶ τὸ ἄρτιον· καὶ τῷ μὲν περιττῷ ἀπέδωκε τὴν ταυτότητα καὶ τὸ πέρας· τῷ δὲ ἀρτίῳ, τὴν ἑτερότητα καὶ τὴν ἀπειρίαν· οὗτινος ἅπτεται ἐν τῷ ἕκτῳ τῶν φυσικῶν, διότι, ἂν τῇ μονάδι περιττοὶ ἀριθμοὶ στοιχηδὸν προστεθῶσιν, ἀεὶ προάγεται τὸ αὐτὸ σχῆμα τοῦ ἀριθμοῦ, οἷον ἂν τῷ ἑνὶ προστεθῇ ὁ τρία, ὅς ἐστι πρῶτος περιττός, ἀπογεννᾶται ὁ τέσσαρα, πρῶτος τετράγωνος ὤν, ᾧ πάλιν ἂν προστεθῇ ὁ δεύτερος περιττός, ἤγουν ὁ πέντε, ἀναθρώσκει ὁ ἐννέα, καὶ αὐτὸς αὖθις τετράγωνος ὤν· καὶ οὕτως ἀεὶ ἐπ' ἄπειρον. Ἀλλ' ἐν τοῖς ἀρτίοις ἀριθμοῖς ἀεὶ ἀναθρώσκει ἄλλο καὶ ἄλλο σχῆμα· ἂν γὰρ τῇ μονάδι προστεθῇ ὁ δύο, πρῶτος ἄρτιος ὢν ἀπογεννᾶται ὁ τρία τριγωνικὸς ὤν, ᾧ προστεθέντος πάλιν τοῦ τέσσαρα, τοῦ δευτέρου ἀρτίου, ἀνίσταται ὁ ἑπτά, ὅς ἐστιν ἑπταγώνου σχήματος· καὶ οὕτως ἐπ' ἄπειρον. Οὕτω τοίνυν ὁ Πλάτων ἐτίθει τὸ ταὐτὸν

---

13 *αὐτὰ τὰ* B  27 *ἀεὶ* après *περιττὸς* add B  32 A la marge inférieure de A:

*περιττοὶ* { *γ ε ζ ἐκ τῶν περιττῶν ἀεὶ ἀναφύονται τετράγωνοι*
*α δ θ ις τετραγωνοι:*

*ἄρτιοι·* { *β δ*
*α γ ιζ διαφόρων σχημάτων:*

Ε.Υ.Δ της Κ.τ.Π.
ΙΩΑΝΝΙΝΑ 2006

καὶ τὸ ἕτερον εἶναι στοιχεῖα πάντων τῶν πραγμάτων· ὧν τὸ μὲν ἓν ἀπεδίδου τῷ ἀρτίῳ ἀριθμῷ, τὸ δὲ λοιπὸν τῷ περιττῷ. Διότι δὲ τὴν οὐσίαν τῆς ψυχῆς ἐτίθει μέσην τῶν ἀνωτέρω οὐσιῶν, τῶν ἀεὶ ὡσαύτως ἐχουσῶν, καὶ τῶν σωματικῶν οὐσιῶν, ἐν αἷς ἡ ἑτερότης καὶ ἡ κίνησις εὑρίσκεται, ἔθετο τὴν ψυχὴν συνεστάναι ἐκ τούτων τῶν στοιχείων ἤγουν ἐκ τοῦ ταὐτοῦ καὶ τοῦ ἑτέρου, καὶ ἐκ τῶν ἀρτίων καὶ περιττῶν ἀριθμῶν· μέσον γὰρ εἶναι δεῖ τὸ ἑκατέρῳ τῶν ἄκρων πεπλησιακὸς καὶ γειτνιάζον· καὶ διὰ τοῦτο λέγει, ὅτι ἔθετο αὐτὴν συνεστῶσαν ἐκ τῶν στοιχείων.

Ἔτι ἰστέον ἐστίν, ὅτι ἐν τοῖς ἀριθμοῖς εἰσὶ διάφοροι ἀναλογίαι καὶ ἄπειροι, ὧν τινὲς μὲν εἰσὶν ἁρμονικαί, τουτέστι αἴτιοι συμφωνιῶν. Ἡ γὰρ διπλασίων ἀναλογία ἐστὶν αἰτία συμφωνίας τῆς διὰ πασῶν λεγομένης· ἡ δὲ ἡμιόλιος ἀναλογία τὴν λεγομένην διὰ πέντε συμφωνίαν ποιεῖ. Ἡ ἐπίτριτος ἀναλογία ποιεῖ τὴν διὰ τεσσάρων. Ἡ ἐπόγδοος ποιεῖ τὸν τόνον, καὶ αἱ ἄλλαι συμφωνίαι ἀπό τινων ἀναλογιῶν ἀποτίκτονται, οἷον ἡ συγκειμένη ἐκ τῆς διὰ πασῶν καὶ τῆς διὰ πέντε γεννᾶται ἐκ τῆς τριπλασίονος ἡ δὶς διὰ πασῶν ἐκ τῆς τετραπλασίονος· ὃ δὴ κατέλαβε Πυθαγόρας, ὡς ὁ Βοήτιος φησὶν ἐν τῇ μουσικῇ, ἐκ τῆς κρούσεως τῶν τεσσάρων σφυρῶν αἱ συμφωνοῦσαι ἤχους ἀπετέλουν κατὰ τὰς προειρημένας ἀναλογίας, οἷον εἰ ἡ ὁλικὴ τῆς μιᾶς εἴη δώδεκα οὐγγίας, τῆς δὲ ἄλλης ἐννέα, τῆς δὲ λοιπῆς ὀκτώ, τῆς δὲ λοιπῆς ἕξ, ἡ τῶν δώδεκα ἔχοι ἂν τὴν τοῦ διπλασίου ἀναλογίαν πρὸς τὴν τῶν ἓξ καὶ ἀποτελοίη ἂν μετ' αὐτῆς τὴν διὰ πασῶν συμφωνίαν· ἡ δὲ τῶν ἓξ πρὸς τὴν τῶν ἐννέα τὴν ὑφημιόλιον ἀναλογίαν καὶ συμφωνεῖ κατὰ τὴν διὰ πέντε. Ὁμοίως καὶ ἡ τῶν ἐννέα πρὸς τὴν τῶν ἕξ. Πάλιν ἡ τῶν δώδεκα πρὸς τὴν τῶν ἐννέα ἐστὶν ἐν ἐπιτρίτῳ ἀναλογίᾳ καὶ συμφωνεῖ μετ' αὐτῆς κατὰ τὴν διὰ τεσσάρων. Ὁμοίως καὶ ἡ τῶν ὀκτὼ πρὸς τὴν τῶν ἕξ. Ἡ δὲ τῶν ἐννέα πρὸς τὴν τῶν ὀκτώ, ἐπειδὴ ἐστὶν ἐν ἐπογδόῳ ἀναλογίᾳ, συμφωνεῖ κατὰ τὸν τόνον. Εἰ δὲ καὶ ὁ Πλάτων ἔθετο πάντα τὰ πράγματα ἐκ τῶν ἀριθμῶν συνεστάναι, οὐ μέντοι γε ἐκ τῶν ἀριθμῶν τῶν ἐχόντων ἀναλογίας ἁρμονικάς, ἀλλὰ τὴν ψυχὴν ἔθετο συνεστάναι κατὰ τοὺς ἀριθμοὺς τοὺς ἔχοντας τὰς τοιαύτας ἀναλογίας· τοῦτο γάρ ἐστιν ὅ φησιν, ὅτι ἔθετο αὐτὴν μεμερισ-

---

16 **A la marge de inférieure de A:**




Ε.Υ.Δ της Κ.τ.Π
ΙΩΑΝΝΙΝΑ 2006

μένην κατὰ τοὺς ἁρμονικοὺς ἀριθμούς, τουτέστι κατ᾽ἀριθμοὺς ἀναλογοῦντας ἀλλήλοις μουσικῇ ἀναλογίᾳ· ἔθετο γὰρ ἐκ τούτων τῶν ἀριθμῶν τὴν ψυχὴν συνεστάναι· ἐκ τοῦ ἑνός, τῶν δύο, τῶν τριῶν, τῶν τεσσάρων, τῶν ὀκτώ, τῶν ἐννέα, τῶν εἰκοσιεπτά, ἐν οἷς αἱ τοι|αῦται ἀναλογίαι εὑρίσκονται. f. 279
Ἐκ διπλῆς δὲ αἰτίας τὴν ψυχὴν ἔθετο συνεστάναι ἐκ στοιχείων τῶν ἁρμονικῶν ἀριθμῶν· ἡ μία ἐστὶν ὅτι ἕκαστον τῶν πραγμάτων ἐπιχαίρει ἐκείνῳ τῷ πράγματι, ὅπερ ἐστὶν ὅμοιον αὐτῷ καὶ σύμφυτον· ὁρῶμεν γάρ, ὅτι ἡ ψυχὴ χαίρει πᾶσι τοῖς ἁρμονικοῖς καὶ ἀπαρέσκεται πᾶσι τοῖς παρὰ τὴν ὀφειλομένην ἁρμονίαν οὖσι, κἂν τοῖς σώμασι, κἂν τοῖς χρώμασι, κἂν ὁποιοισδήτισιν αἰσθητοῖς ἐντυγχάνῃ τοιούτοις· ὅθεν δοκεῖ ἡ ἁρμονία ἐκ τῆς φύσεως τῆς ψυχῆς εἶναι. Καὶ τοῦτό ἐστιν ὅ φησιν· Ὅταν ἡ ψυχὴ ἔχῃ αἴσθησιν, τουτέστι γνῶσιν σύμφυτον ἁρμονίας. Ἡ δὲ λοιπὴ αἰτία ἐστὶν ὅτι οἱ Πυθαγόρειοι καὶ οἱ Πλατωνικοὶ ἔθεντο ἐκ τῶν κινήσεων τῶν οὐρανῶν προϊέναι ἤχους ἄριστα ἡρμοσμένους, καὶ διότι τὰς οὐρανίους κινήσεις ἐτίθεσαν εἶναι παρὰ τῆς τοῦ κόσμου ψυχῆς, ἔθεντο τὴν ψυχὴν εἶναι ἐκ τῶν ἁρμονικῶν ἀριθμῶν, ὡς ἂν δύναιντο παράγειν τὰς ἁρμονικὰς κινήσεις καὶ τοῦτ᾽ ἔστιν ὅ φησι· Καὶ τὸ πᾶν φέρηται κατὰ συμφώνους φοράς.

Τὴν εὐθυωρίαν εἰς κύκλον κατέκαμψεν. Ἐνταῦθα διδάσκει πῶς ἐκ τῆς ψυχῆς ἡ οὐρανία πρόεισι κίνησις· ὅπου δεῖ θεωρεῖν, ὅτι πάντες οἱ ἀριθμοί, κατὰ τὴν φυσικὴν τάξιν ληφθέντες, γραμμικῶς διατίθενται κατ᾽ εὐθύτητα, καθὼς εἷς προστίθησι τῷ λοιπῷ. Ἀλλ᾽ ἐκ τοῦ φυσικοῦ εἱρμοῦ τῶν ἀριθμῶν δύναταί τις πορίσασθαι πλείονας εἱρμούς, οἷον ἂν λάβῃ τις ὥσπερ ἐν μιᾷ εὐθύτητι πᾶσαν τὴν ἀκολουθίαν τῶν διπλασίων, καὶ ἐν ἄλλῃ ὅλην τὴν συστοιχίαν τῶν τριπλασίων, καὶ ἐν ἄλλῃ ὅλην τὴν τῶν τετραπλασίων, καὶ οὕτως ἐπὶ τῶν ἄλλων. Ὅπερ τοίνυν ὁ ἄνθρωπος κατὰ τὴν ἰδίαν ἐπίσκεψιν δύναται περὶ τοὺς ἀριθμοὺς ἐνεργεῖν, τοῦτο καὶ ὁ Θεὸς ποιεῖ συνιστῶν τὰς τῶν πραγμάτων οὐσίας ἐξ ἀριθμῶν. Ὅθεν συνιστῶν τὴν οὐσίαν τῆς ψυχῆς ἐκ τῶν προειρημένων ἀριθμῶν, τῶν φυσικῇ τινι τάξει ἐν μιᾷ ὄντων εὐθύτητι, ὡσανεὶ δύο γραμμὰς διεῖλε μίαν, τὴν τῶν διπλασίων, καὶ ἄλλην, τὴν τῶν τριπλασίων· αὗται γὰρ

---

**11-12** *ὅτι ἡ ψυχὴ ἔχει* B **21** *γραμμικῶς*: *τῶν γραμμῶν* B **26** *ὅπερ*: *ἐπεὶ* B **28** Dans la marge de droite A, ce graphique:



Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

αἱ ἀναλογίαι πάσας τὰς ἁρμονικὰς ἀναλογίας συνέχουσιν· (1) ἡ γὰρ διπλάσιος ἀναλογία διαιρεῖται εἰς τὴν ἡμιόλιον καὶ τὴν ἐπίτριτον, καὶ ἡ τριπλάσιος εἰς τὴν διπλάσιον καὶ τὴν ἡμιόλιον. Ἐν τοῖς προειρημένοις οὖν ἀριθμοῖς λαμβάνεται εἱρμὸς διπλασίων μέχρι τοῦ κυβικοῦ ἀριθμοῦ, οἷον εἷς, δύο, τέσσαρα, ὀκτώ· καὶ ἄλλη συστοιχία τριπλασίων τῷ αὐτῷ τρόπῳ, οἷον α΄, γ΄, θ΄, κζ΄, αἵτινες δύο συστοιχίαι ἐν τῇ μονάδι συζεύγνυνται, ὡς ἐὰν ὦσι δύο γραμμαὶ εὐθεῖαι γωνίαν περιέχουσαι. Πάλιν, ἐὰν μονάδι συναφθῶσι τὰ ἐν τῇ γραμμῇ τῶν τριπλασίων, ἀναφυήσονται ἀριθμοὶ οἱ ἐν τῇ γραμμῇ τῶν διπλασίων· οἷον, ἂν τῇ μονάδι προστεθῇ ὁ γ΄, γενήσεται ὁ δ΄· καὶ τὸ ἀνάπαλιν, ἂν τῇ μονάδι προστεθῇ ὁ β΄, γενήσεται ὁ γ΄. Καὶ οὕτω συστήσονται ὡσανεὶ δύο γραμμαὶ τέμνουσαι ἀλλήλας κατὰ τρόπον γράμματος ἑλληνικοῦ, ὅπερ ὀνομάζεται χῖ· Ἂν δὲ προχωρῇ ἐπὶ πλέον, ἀναστρέψει πρὸς τοὺς αὐτοὺς ἀριθμούς· ἀπὸ γὰρ τοῦ δ΄ προελεύσεται ἐπὶ τὸν η΄, καὶ ἀπὸ τοῦ γ΄ ἀναστρέψει πρὸς τὰ κζ΄, καὶ οὕτως ἑκατέρωσε συγκλεισθήσεται ὡσανεὶ κύκλος τις.

Ἰστέον δὲ ὅτι ὁ Πλάτων ὅσα εὑρίσκοντο ἐν τῇ μᾶλλον συνθέτῳ φύσει ἔλεγε προελθεῖν ἐκ τῆς ἰδιότητος τῆς μᾶλλον ἁπλῆς φύσεως, ὥσπερ τὰς συμφωνίας τῶν ἤχων ἐκ τῶν ἀναλογιῶν τῶν ἀριθμῶν. Τὴν δὲ τῆς ψυχῆς οὐσίαν ἐτίθει μεταξὺ τῶν ἀριθμῶν, οἵτινες εἰσὶ μᾶλλον ἐξ ἀφαιρέσεως καὶ τῆς αἰσθητῆς οὐσίας, καὶ διὰ τοῦτο τὰς ἰδιότητας τῆς ψυχῆς παρῆγεν ἐκ τῶν ἰδιωμάτων τῶν εἰρημένων ἀριθμῶν. Ἐν γὰρ τῇ ψυχῇ πρῶτον ἔστι θεωρεῖν τὴν εὐθυωρίαν, καθὸ ἀποτείνεται κατ᾽ εὐθεῖαν πρὸς τὸ ἴδιον ἀντικείμενον, καὶ μετὰ ταῦτα ἀναστρέφει εἰς κύκλον, καθόσον ὁ νοῦς ἀνακάμπτει πρὸς ἑαυτόν. Εὑρίσκεται ἔτι ἐν τῇ νοητικῇ ψυχῇ ὥσπερ τις κύκλος τῶν ἀρτίων καὶ περιττῶν, ὅταν γινώσκῃ ἃ τῆς τοῦ ταὐτοῦ φύσεώς ἐστί, καὶ ἃ τῆς τοῦ ἑτέρου· καὶ τοῦτο ἐκτείνεται ἄχρι καὶ τῆς αἰσθητῆς οὐσίας τοῦ οὐρανοῦ, ἣν ἡ ψυχὴ κινεῖ. Ἐν γὰρ τῷ οὐρανῷ θεωρεῖται διπλῆ κίνησις, κυκλικὴ μία, ἁπλῆ καὶ ὁμοειδής, καθ᾽ ἣν ὁ οὐρανὸς ἀνελίττεται τῇ ἡμερησίᾳ κινήσει ἐξ ἀνατολῆς εἰς δύσιν, ἥτις γίνεται διὰ τοῦ ἰσημερινοῦ

---

(1) *ἐκ παντὸς διπλασίου καὶ ἡμιολίου συντεθέντων τριπλάσιος φύεται, οἷον ὁ ιβ΄ τοῦ ς΄ διπλάσιος· ὁ ς΄ τοῦ δ΄ ἡμιόλιος· ὁ ιβ΄ ἄρα τοῦ δ΄ τριπλάσιος· καὶ ἐκ παντὸς ἡμιολίου καὶ ἐπιτρίτου συντεθέντων ἡ διπλάσιος φύεται, οἷον ὁ ιβ΄ τοῦ η΄ ἡμιόλιος· ὁ η΄ τοῦ ς΄ ἐπίτριτος· ὁ ιβ΄ ἄρα τοῦ ς΄ διπλάσιος.*

**4** *ἕως εἰς τὸν κυβικὸν ἀριθμὸν* **B** **28** *ὁμογενὴς* **B** **Ces graphiques dans la marge de droite et à la marge inférieure de A:**







Ε.Υ.Δ της Κ.τ.Π
ΙΩΑΝΝΙΝΑ 2006

κύκλου· ἄλλη δὲ | κίνησις ἐστὶν ἡ τῶν πλανητῶν, ἥ ἐστιν ἀπὸ δυσμῶν f. 279v ἐπ' ἀνατολὰς κατὰ τὸν κύκλον τὸν ζῳδιακόν, ὃς τέμνει τὸν ἰσημερινὸν ἐν τοῖς δυσὶ τροπικοῖς σημείοις, δηλονότι ἐν τῇ ἀρχῇ τοῦ καρκίνου καὶ τοῦ αἰγοκέρωτος. Καὶ διότι ἡ κίνησις ἡ πρώτη ἐστὶν ὁμοειδής, διὰ τοῦτο οὐ διαιρεῖται εἰς πλείους κινήσεις καὶ ἀφομοιοῦται τῷ κύκλῳ τῶν περιττῶν· διὸ καὶ μείζων ἐστὶν ὁ πρῶτος κύκλος· οἱ γὰρ περιττοὶ ἀριθμοί, οἱ ἀνωτέρω τεθέντες, μείζους εἰσίν. Ἡ δὲ δευτέρα κίνησις πολλὴν ἔχει ποικιλίαν, καὶ διὰ τοῦτ' ἀνήκειν δοκεῖ τῷ κύκλῳ τῶν ἀρτίων καὶ διαιρεῖται εἰς ἑπτὰ κύκλους κατὰ τὰ ς' διαστήματα τῶν διπλασίων καὶ τριπλασίων ἀριθμῶν, ὡς λέγεται ἐν τῷ Τιμαίῳ· ὅπου γὰρ εἰσὶν ἓξ διαιρέσεις, ἀνάγκη ἐστὶν εἶναι ἑπτὰ τὰ διῃρημένα· ὅθεν καὶ οὗτοι οἱ κύκλοι ἐλάττους εἰσὶ καὶ περιέχονται ὑπὸ τοῦ ἀνωτέρου κύκλου, ὅς ἐστι τῶν περιττῶν. Οὕτω τοίνυν ἀναγινώσκειν δεῖ τὴν λέξιν· Ἵνα τὸ πᾶν φέρηται κατὰ συμφώνους φοράς, τουτέστιν ἵνα ἐκ τῆς ἁρμονίας τῆς ψυχῆς παράγωνται αἱ οὐρανίαι κινήσεις αἱ ἡρμοσμέναι. Τὴν εὐθυωρίαν ὁ Θεὸς κατέκαμψεν εἰς κύκλον καθ' ὃν ἐξηγησάμεθα τρόπον, καὶ κατὰ τὴν ἰδιότητα τοῦ ἀριθμοῦ καὶ κατὰ τὴν ἰδιότητα τῆς ψυχῆς, καὶ διελὼν ἐκ τοῦ ἑνὸς διὰ τὴν μίαν φυσικὴν σειρὰν τοῦ ἀριθμοῦ καὶ τὴν μίαν νοητικὴν δύναμιν τῆς ψυχῆς εἰς δύο κύκλους, δηλονότι τῶν ἀρτίων καὶ περιττῶν ὅσον πρὸς τοὺς ἀριθμούς, τὴν νόησιν τῶν κινητῶν καὶ τῶν ἀκινήτων ὅσον πρὸς τὴν ψυχήν, καὶ τὴν κίνησιν τὴν κατά τε τὸν ζῳδιακὸν καὶ ἰσημερινὸν ὅσον πρὸς τὸν οὐρανόν. Προσέθηκε δὲ τὸ δισσαχῇ συνημμένους, διότι οἱ δύο κύκλοι οἱ τέμνοντες ἀλλήλους ἅπτονται ἀλλήλων ἐν δυσὶ σημείοις, πάλιν τὸν ἕνα, δηλονότι τὸν κατώτερον, διεῖλεν εἰς ἑπτὰ κύκλους, δηλονότι τοὺς τῶν πλανητῶν, ὡς οὐσῶν τῶν τοῦ οὐρανοῦ φορῶν τῶν τῆς ψυχῆς κινήσεων, τουτέστιν ὡς τοῦ οὐρανοῦ κινουμένου τῇ τῆς ψυχῆς κινήσει.

## Leçon VIII.

Πρῶτον μὲν οὖν οὐ καλῶς τὸ λέγειν τὴν ψυχὴν μέγεθος εἶναι. Θεὶς τὴν δόξαν τοῦ Πλάτωνος, ἐνταῦθα ἀποδοκιμάζει αὐτήν. Καὶ δεῖ σημειοῦσθαι, ὅτι ὁ Ἀριστοτέλης, ὡς ἐπὶ τὸ πλεῖστον, ὅταν ἀποδοκιμάζῃ τὰς θέσεις τοῦ Πλάτωνος, οὐκ ἀποδοκιμάζει ταύτας ὅσον πρὸς τὸν σκοπὸν τοῦ Πλάτωνος, ἀλλ' ὅσον πρὸς τὸν ἦχον τῶν ἐκείνων ῥημάτων· ὅπερ διὰ τοῦτο ποιεῖ, διότι ὁ Πλάτων οὐκ εἶχε καλὸν τρόπον διδασκαλίας· καὶ γὰρ ἅπαντα ἐσχηματισμένως λέγει καὶ συμβολικῶς. Διδάσκειν ἠβούλετο ἄλλο σκοπῶν διὰ τῶν ῥημάτων, καὶ ἄλλο ἠχούντων τῶν ῥημάτων αὐτῶν, ὥσπερ ὅ φησι τὴν ψυχὴν εἶναι κύκλον. Καὶ διὰ τοῦτο, ἵνα μή τις διὰ ταῦτα τὰ ῥήματα εἰς πλάνην ἐμπέσῃ, διαλέγεται ὁ Ἀριστοτέλης κατ' αὐτοῦ ὅσον πρὸς τὴν τῶν ὀνομάτων ἐκείνου φωνὴν καὶ ἦχον.

Ε.Υ.Δ. Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

Τίθησι δὲ λόγους δέκα πρὸς τὸ ἀνελεῖν τὴν προτεθειμένην δόξαν, ὧν τινὲς εἰσὶ κατ' αὐτοῦ, τινὲς δὲ κατὰ τῶν λόγων αὐτοῦ· οὐ γὰρ ἠβούλετο ὁ Πλάτων κατὰ ἀλήθειαν τὸν νοῦν εἶναι μέγεθος ποσόν, ἢ κύκλον καὶ κίνησιν κυκλικήν, ἀλλὰ μεταφορικῶς τοῦτο ἀπεδίδου τῷ νῷ. Ὅμως ὁ Ἀριστοτέλης, ἵνα μή τις ἐκ τούτου πλανηθῇ, διαλέγεται κατ' αὐτοῦ κατὰ τὸ φαινόμενον τῶν ἐκείνου λόγων.

Πρῶτον οὖν ὁ Ἀριστοτέλης περὶ τὸν πρῶτον λόγον φανεροῖ περὶ τίνος ψυχῆς ὁ Πλάτων ἐνόησεν, δηλονότι περὶ τῆς ψυχῆς τοῦ παντός· καὶ ταύτην τὴν ψυχὴν τοῦ παντὸς βούλεται εἶναι νοερὰν μόνον· οὐ γάρ ἐστι θρεπτική, διότι οὐ δεῖται τροφῆς· οὐδὲ αἰσθητική· ἐστέρηται γὰρ ὀργάνου· οὐδ' ἐπιθυμητική, διότι ἡ ἐπιθυμητικὴ ἀκολουθεῖ τῇ αἰσθητικῇ. Καὶ εἶπε τὴν ψυχὴν τοῦ παντὸς διὰ τοῦτο μὴ εἶναι αἰσθητικὴν μηδὲ ἐπιθυμητικήν, διότι αὐτὸς ἠθέλησε τὴν κίνησιν τῆς ψυχῆς τοῦ παντὸς εἶναι κυκλικήν· ὅθεν, ἐπεὶ ἡ κίνησις αὐτῶν, δηλονότι τῆς αἰσθητικῆς καὶ ἐπιθυμητικῆς, οὐκ ἔστι κυκλική· οὐδὲ γὰρ ἀνακάμπτει ἡ αἴσθησις ἐφ' ἑαυτήν, ὁ δὲ νοῦς ἀνακάμπτει ἐφ' ἑαυτόν· ὁ γὰρ ἄνθρωπος νοεῖ ἑαυτὸν νοεῖν· διὰ τοῦτο φησὶν ἐκείνην τὴν ψυχὴν νοητικὴν μόνον εἶναι, καὶ διὰ τοῦτο λέγει τὸν νοῦν εἶναι μέγεθός τι καὶ κύκλον. Καὶ τοῦτο Ἀριστοτέλης ἀποδοκιμάζει λέγων, ὅτι ὁ Πλάτων οὐ καλῶς εἶπε τὴν ψυχὴν εἶναι μέγεθος, καὶ ὅτι εἶπε περὶ
f. 280 ψυχῆς ὡς περὶ μεγέθους κυκλικοῦ, διαιρῶν | αὐτὴν εἰς δύο κύκλους· καὶ ὅτι κακῶς εἶπε, δείκνυσιν. Ἐν τῇ φύσει γὰρ τῆς ψυχῆς τοῦτό ἐστι τὸ τὴν περί τινος τῶν αὐτῆς δυνάμεων κρίσιν λαμβάνεσθαι ἐκ τῆς ἐνεργείας αὐτῆς τῆς δυνάμεως, τὴν δὲ κρίσιν τῆς ἐνεργείας ἐκ τοῦ ἀντικειμένου. Αἱ γὰρ δυνάμεις γινώσκονται ταῖς ἐνεργείαις, αἱ δὲ ἐνέργειαι διὰ τῶν ἀντικειμένων· κἀντεῦθεν ἐστίν, ὅτι ἐν τῷ ὁρισμῷ τῆς δυνάμεως τίθεται ἡ ἐνέργεια αὐτῆς, κἂν τῷ ὁρισμῷ τῆς ἐνεργείας τίθεται τὸ ἀντικείμενον. Δῆλον δὲ ὅτι παρ' οὗ ἔχει ἕκαστον τὸ εἶναι καὶ τὸ εἶδος, παρ' αὐτοῦ ἔχει καὶ τὴν ἀλήθειαν. Εἰ τοίνυν ὁ νοῦς ἐστι καὶ λαμβάνει τὸ εἶδος ἀπὸ τοῦ νοητοῦ, ὅπερ ἐστὶν ἀντικείμενον αὐτοῦ· λέγω δὲ τὸν ἐνεργείᾳ νοῦν, ἐπεὶ οὐδέν ἐστι πρὸ τοῦ νοεῖν· φανερόν ἐστιν, ὅτι ἂν ᾖ εἷς καὶ συνεχής, ὥσπερ ἔθετο Πλάτων, τῷ αὐτῷ τρόπῳ ὁ νοῦς εἷς ἔσται καὶ συνεχὴς ᾧ καὶ τὰ νοητὰ ἕν εἰσι καὶ συνεχές· ὁ γὰρ νοῦς οὐκ ἔστιν εἷς, εἰ μὴ ὥσπερ ἡ νόησις, ἥτις ἐστὶν ἐνέργεια αὐτοῦ, τουτέστι τὸ νοεῖν. οὐδὲ ἡ ἐνέργεια ἐστὶ μία, εἰ μὴ ὥσπερ τὸ ἀντικείμενον αὐτῆς ἐστιν ἕν, διότι αἱ ἐνέργειαι διακρίνονται κατὰ τὰ ἀντικείμενα. Ὅθεν, ἐπεὶ τὸ ἀντικείμενον τοῦ νοῦ εἰσὶ τὰ νοητά, ταῦτα δὲ τὰ νοητὰ οὐκ εἰσὶν ἓν ὡς μέγεθος ἢ συνεχές, ἀλλ' ὡς ἀριθμός, κατὰ τὸ ἐφεξῆς εἶναι φανερόν, ὅτι ὁ νοῦς οὐκ ἔστι μέγεθος, ὡς

1 *δέκα* om B  2 *δὲ* om B

Ε.Υ.Δ της ΚΕ.Π ΙΩΑΝΝΙΝΑ 2006

ὁ Πλάτων ἔλεγεν, ἀλλ' ἢ ἀμερής ἐστιν, ὥσπερ ἔχει ὁ τῶν πρώτων ὅρων καὶ τῶν ἀρχῶν, ἢ οὐκ ἔστι συνεχής, ὥς τι μέγεθος, ἀλλ' ὡς ὁ ἀριθμός, ἐφ' ὅσον ἓν μετ' ἄλλο νοοῦμεν· καὶ πολλάκις πλείω ὁρίζονται καὶ περαίνουσιν ἐφ' ἕν, ὥσπερ ἐν τοῖς συλλογισμοῖς αἱ προτάσεις περαίνουσιν εἰς τὸ συμπέρασμα.

Πῶς γὰρ δὴ καὶ νοήσει. Ἐνταῦθα τίθησι τὸν δεύτερον λόγον, τοιοῦτον ὄντα. Δυνατόν τινα λέγειν, ὅτι ὁ Πλάτων οὐκ ἔθετο τὸ μέγεθος ἐν τῷ νῷ διὰ τὰ πολλὰ νοητά, ἀλλὰ δεῖ εἶναι μέγεθος ἐν τῷ νῷ καὶ δι' ἕν τι νοητόν. Ἀλλὰ τοῦτο οὐ δύναται εἶναι· ὁ γὰρ Πλάτων ἐδόξασεν, ὅτι τὸ νοεῖν οὐ γίνεται κατὰ πρόσληψιν καὶ ὑποδοχὴν ἐν τῷ νῷ, ἀλλ' ὅτι ὁ νοῦς νοεῖ κατά τινα θίξιν καὶ ἁφήν, καθόσον δηλονότι συναντᾷ τοῖς εἴδεσι τοῖς νοητοῖς, καὶ ταύτην τὴν θίξιν ἀπέδωκε τῷ κύκλῳ, ὡς προείρηται. Ζητῶ τοίνυν ἀπὸ σοῦ εἰ μέγεθος ἐστὶν ὁ νοῦς καὶ νοεῖ κατὰ θίξιν, ἢ κατὰ τὸ ὅλον ἅπτεται τοῦ νοουμένου, ἢ κατὰ τὰ μόρια αὐτοῦ. Εἰ κατὰ τὸ ὅλον ἁπτόμενος νοεῖ τὸ ὅλον, τότε τὰ μέρη οὐκ ἔσονται ἀναγκαῖα, ἀλλὰ μάτην εἰσίν, καὶ οὕτως οὐκ ἔστιν ἀνάγκη εἶναι τὸν νοῦν μέγεθος καὶ κύκλον. Εἰ δὲ κατὰ τὰ μόρια ἁπτόμενος νοεῖ τὰ μόρια, ἢ κατὰ πάντα τὰ μόρια ἔσται τοῦτο, ἢ καθ' ἓν μόνον. Εἰ καθ' ἓν μόνον συμβήσεται, πάλιν ὅπερ καὶ πρότερον· ἔσονται γάρ τινα περιττά, καὶ οὕτως οὐκ ἔσται ἀναγκαῖον τιθέναι τὸν νοῦν μέρη ἔχειν. Εἰ δὲ ἁπτόμενος κατὰ πᾶν μέρος νοεῖ, τοῦτο κατὰ μόρια ἔσται σημειώδη, τουτέστι κατὰ στιγμάς, ἢ κατὰ μόρια μεγέθους ἤγουν ποσότητας. Εἰ μὲν οὖν κατὰ στιγμάς, τότε, ἐπεὶ ἐν ἑκάστῳ μεγέθει εἰσὶν ἄπειροι στιγμαί, δεῖ ἀπειράκις ἅπτεσθαι πρὸ τοῦ νοεῖν, καὶ οὕτως οὐδέποτε νοήσει διὰ τὸ μὴ εἶναι τὰ ἄπειρα διελθεῖν. Λέγει δέ· μέρη σημειώδη, οὐχ ὅτι βούλεται αὐτὸς τὸ μέγεθος εἰς τοιαῦτα μέρη διαιρεῖσθαι, ἀλλὰ διαλέγεται πρὸς τὸν λόγον τοῦ Πλάτωνος, ὃς τοῦτο ἐδόξασεν, ὅτι τὸ σῶμα σύγκειται ἐξ ἐπιφανειῶν, καὶ ἡ ἐπιφάνεια ἐκ γραμμῶν, καὶ ἡ γραμμὴ ἐκ σημείων, ὅπερ αὐτὸς ἀποδοκιμάζει ἐν τῷ βιβλίῳ τῶν φυσικῶν, ὅπου δείκνυσιν, ὅτι στιγμὴ στιγμῇ προστεθεῖσα οὐδὲν προστίθησιν. Εἰ δὲ νοεῖ ἁπτόμενος κατὰ μέρη ποσότητος, τότε, ἐπεὶ ἕκαστον μέρος διαιρεῖται εἰς πολλὰ μέρη, ἕπεται πολλάκις νοεῖν τὸ αὐτό.

Ἔτι, ἐπεὶ πᾶσα ποσότης ἐστὶ διαιρετὴ ἐπ' ἄπειρον κατὰ τὴν αὐτὴν ἀναλογίαν καὶ οὐ κατὰ τὴν αὐτὴν ποσότητα, ἕπεται ἀπειράκις νοεῖν, ὅπερ ἐστὶν ἄτοπον. Φαίνεται τοίνυν, ὅτι οὐχ ἅπτεται εἰ μὴ ἅπαξ, καὶ οὕτω φανερὸν ἐστίν, ὅτι οὐδένα τρόπον δεῖ ἀποδίδοσθαι μέγεθος, οὐθ' ὅσον πρὸς πλείω νοητά, οὐθ' ὅσον πρὸς ἕν. Καὶ δεῖ σημειοῦσθαι, ὅτι ἐνταῦθα ὁ Ἀριστοτέλης λαθραίως δείκνυσι τὸν νοῦν ἐκ τῆς ἑαυτοῦ | φύσεως μὴ f. 280v

27 ἐξ: ἐκ τῶν B

Ε.Υ.Δ της Κ.Π. ΙΩΑΝΝΙΝΑ 2006

εἶναι μεριστὸν ἀλλά τι ἀμερές· τὸ γὰρ νοητὸν ἐν ἑκάστῳ πράγματι ἐστὶ τὸ τί ἐστιν αὐτοῦ, καὶ ἡ φύσις τοῦ πράγματος ἐστὶν ὅλη ἐν ἑκάστῳ μέρει, ὥσπερ ἡ φύσις τοῦ εἴδους ὅλη ἐστὶν ἐν ὁτῳοῦν τῶν ἀτόμων, καὶ τοῦτο ἐστὶν ἀδιαίρετον· ὅθεν τὸ ἐν ἑκάστῳ πράγματι νοητόν ἐστιν ἀδιαίρετον· ἀκολούθως οὖν καὶ ὁ νοῦς.

Ἔτι πῶς νοήσει. Ἐνταῦθα τίθησι τὸν τρίτον λόγον, τοιοῦτον ὄντα. Φανερὸν ἐστίν, ὅτι εἰ τιθέαμεν ἡμεῖς τὸν νοῦν ἀμέριστον, ῥᾳδίως ὁ λόγος ληφθήσεται τοῦ πῶς νοεῖ τὸ ἀμέριστον καὶ τὸ μεριστόν, διότι τὸ ἀμέριστον νοεῖ κατὰ τὴν ἰδιότητα τῆς ἑαυτοῦ φύσεως, ἥτις ἀμέριστος ἐστίν, ὡς εἴρηται, τὸ δὲ μεριστόν, ἀφαιρῶν ἀπὸ τοῦ μεριστοῦ. Ἀλλ' ἐὰν ὁ νοῦς τεθῇ μεριστός, καθὼς ὁ Πλάτων ἠβούλετο, ἀδύνατον ἐστὶν εὑρεῖν λόγον πῶς ἂν νοήσειε τὸ ἀμέριστον· καὶ οὕτω φαίνεται, ὅτι ἀτόπως ὁ Πλάτων τίθησι τὸν νοῦν εἶναι μέγεθος ἢ μεριστόν.

Ἀναγκαῖον δ' εἶναι. Ἐνταῦθα τίθησι τὸν τέταρτον λόγον, τοιοῦτον ὄντα. Σὺ λέγεις τὸν νοῦν εἶναι κύκλον καὶ λέγεις τὸν νοῦν κινεῖσθαι· ἀλλ' ἡ κίνησις τοῦ κύκλου ἐστὶ περιφορά· ἡ δὲ κίνησις τοῦ νοῦ ἐστι νόησις. Εἰ τοίνυν ὁ νοῦς κύκλος ἐστίν, ἐξ ἀνάγκης ἡ νόησις ἐστὶ περιφορά· ἀλλὰ τοῦτο ψεῦδος ἐστί, διότι ἐπεὶ ἐν τῇ περιφορᾷ οὐκ ἔστιν εὑρεῖν ἐνεργείᾳ τὴν ἀρχὴν οὐδὲ τὸ τέλος, ὡς δείκνυται ἐν τῷ ὀγδόῳ τῶν φυσικῶν, ἀκολουθήσειεν ἂν καὶ τὴν νόησιν εἴτουν τὴν τοῦ νοῦ ἐνέργειαν, ἥτις ἐστὶ τὸ νοεῖν, μηδέποτε περαίνειν. Ἀλλὰ τοῦτο ἐστὶ ψεῦδος, διότι ἡ νόησις ἐνεργείᾳ καὶ ἀρχὴν ἔχει καὶ πέρας· ἡ νόησις ἄρα καὶ ἡ περιφορὰ οὐκ εἰσὶ τὸ αὐτό, καὶ ἀκολούθως οὐδὲ ὁ νοῦς ἐστὶ κύκλος. Ὅτι δὲ ἡ νόησις ἔχει ἀρχὴν καὶ τέλος ἐνεργείᾳ, δείκνυται ἐντεῦθεν· πᾶσα νόησις ἢ πρακτικὴ ἐστίν, ἢ θεωρητική· ἀλλὰ φανερόν, ὅτι τῶν πρακτικῶν ἐπιστημῶν πέρατα εἰσί, τουτέστι τέλος· πᾶσαι γάρ εἰσιν ἄλλου χάριν, δηλονότι τοῦ ἔργου, καὶ πρὸς τὸ ἔργον περαίνουσι καὶ ὁρίζονται· αἱ δὲ θεωρητικαὶ ἐπιστῆμαι ἔχουσι καὶ αὗται τέλος, δηλονότι τοὺς λόγους. πᾶσαι γὰρ περαίνουσι πρός τινας λόγους, οἵτινες δὴ λόγοι ἢ ὁρισμὸς εἰσί, δηλονότι ἐν τῇ ἁπλῇ νοήσει, ἢ ἀπόδειξις, δηλονότι ἐν τῷ συντιθέναι καὶ διαιρεῖν. Ἀλλ' αἱ ἀποδείξεις αἱ πρῶται ἐξ ἀρχῶν ὁμολογουμένων εἰσὶ καὶ ἔχουσι τρόπον τινὰ τέλος τὸν συλλογισμὸν ἢ τὸ συμπέρασμα. Κἂν τις εἴπῃ, ὅτι ἐκ τοῦ ἑνὸς συμπεράσματος ἄλλο ἀκολουθεῖ, καὶ οὕτως οὐ περαίνει, οὐδὲν ἧττον μέντοι δυνατὸν λέγεσθαι, ὅτι τὰ συμπεράσματα οὐκ εἰσὶ κυκλικά, διότι οὐ κυκλικῶς προχωροῦσιν ἐν τῇ νοήσει, ὡς δείκνυται ἐν τῷ δευτέρῳ τῶν ὑστέρων, ἀλλ' εὐθυποροῦσι καὶ ἀποτείνονται κατ' εὐθεῖαν· καὶ ἀδύνατον εὑρίσκειν κίνησιν ἄπειρον ἢ πρόοδον. Καὶ οἱ ὁρισμοὶ δὲ αὐτοὶ ἀρχὴν ἔχουσι καὶ τέλος, διότι οὐκ ἔστιν ἀνιέναι ἐπ' ἄπειρον ἐν

29 ἐστὶ B

Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006